## Ad correctionem eorum qui vitiose vivunt et honores appetunt

## Πρὸς διόρθωσιν τῶν ἐμπαθῶς διαγόντων καὶ τιμὰς ἀπαιτούντων

Ἀγωνιῶ, ἀδελφοί μου, καὶ φρίττω, καὶ τῇ λύπῃ κατατιτρώσκομαι διὰ τὸν Προφήτην τὸν λέγοντα· ἴδετε οἱ καταφρονηταὶ καὶ θαυμάσατε καὶ ἀφανίσθητε. Καὶ πρῶτόν γε μάλιστα διὰ τὴν ἐμαυτοῦ ἀπαιδευσίαν· πάσης γὰρ ἀνομίας ὁδὸς γεγένημαι, καὶ πάσῃ ἁμαρτίᾳ κατέδησέ μου ἕκαστον μέλος ὁ Ἐχθρός. Καὶ ὤφειλον ἐμαυτὸν κόψασθαι καὶ θρηνῆσαι διὰ τὴν προσοῦσάν μοι αἰσχύνην, καὶ οὕτω τὰ τῶν ἄλλων μεριμνᾶν· ὤφειλον πρῶτον τὴν ἐμαυτοῦ δοκὸν ἐκκόψαι, καὶ οὕτω τὰ τῶν ἄλλων διαβλέπεσθαι κάρφη. Ἀλλ' ἡ νῦν γινομένη καταφρόνησις ἐν τοῖς ἡμετέροις καιροῖς βαπτίζει με τῇ λύπῃ σφόδρα. Βλέπω γὰρ τὴν ἀμέλειαν τῆς νῦν 282 κατηχήσεως καὶ οὐ δύναμαι φέρειν, κατὰ τὸν λέγοντα Προφήτην· εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην. Ποῖον γὰρ ὄργανον τοῦ Ἐχθροῦ οὐκ ἔστιν ἐν ἡμῖν; Ἢ ποίᾳ πολυτρόπῳ τέχνῃ οὐκ ἐκράτησεν ἡμῶν; Οἴμοι, τίς μὴ πενθήσει τὰ ἐπηρτημένα ἡμῖν κακά; Ἀλλὰ προσέχετε τοῖς λεγομένοις, παρακαλῶ, οἱ τὸν βίον τοῦτον ἐπανῃρημένοι, καὶ τρομήσατε. Ἀγγέλων γὰρ σχῆμα φοροῦντες τῷ Διαβόλῳ συναμιλλώμεθα. Τὸ σχῆμα ἀγγελικὸν καὶ ἡ πολιτεία κοσμική. Ἆρα οἱ Ἄγγελοι ἐν οὐρανῷ ἐν ἔριδι καὶ ζήλῳ διάγουσι, καθὼς νῦν ὁρῶμεν ἐν τοῖς μοναχοῖς; Ἐρρίζωσε γὰρ ἐν αὐτοῖς ὁ ζῆλος καὶ ὁ φθόνος καὶ ἡ καταλαλιά. Διαφορῶν γὰρ ὁ πανοῦργος ἐρράντισεν αὐτοῦ τὰ φάρμακα εἰς ἕνα ἕκαστον ἡμῶν, καὶ διὰ τέχνης ἕκαστον ὑποσκελίζει. Καὶ ὁ μέν τις κατώρθωσε νηστείαν, καὶ τῷ ζήλῳ καὶ φθόνῳ κεκράτηται· ἕτερος πάλιν ἐκράτησεν ἑαυτὸν ἀπὸ τῆς ἐπιθυμίας τῆς ἀτόπου, καὶ τῇ κενοδοξίᾳ πεπέδηται· ἄλλος κατώρθωσεν ἀγρυπνίαν, καὶ τῇ καταλαλιᾷ πεπαγίδευται· ἄλλος τῆς καταλαλιᾶς ἀπέστη καὶ τῇ ἀνυποταξίᾳ καὶ ἀντιλογίᾳ μεμέστωται· ἄλλος ἀπὸ βρωμάτων ἐγκρατεύεται, καὶ τῷ τύφῳ καὶ τῇ 283 ἀλαζονείᾳ πεπόντισται· ἄλλος ἐν ταῖς εὐχαῖς καρτερικὸς ὑπάρχει, καὶ τῷ θυμῷ καὶ τῇ ὀργῇ ἡττᾶται· ἄλλος κατώρθωσέ τι μικρόν, καὶ ἐπαίρεται κατὰ τῶν ἀμελεστέρων· ἄλλον οὖν ἄλλως ἐδέσμευσεν ἡ κακία, καὶ οὐκ ἔστιν ὁ συνιών. Διὰ τοῦτο ἔριδες καὶ διχοστασίαι εἰσὶν ἐν τοῖς μοναχοῖς. Οἴμοι, τίς μὴ στενάξει; Τίς μὴ πενθήσει, ὅπως τὴν ἀγγελικὴν ταύτην πολιτείαν συνεχέαμεν; Κατελείψαμεν γὰρ τὸν κόσμον, καὶ τὰ τοῦ κόσμου φρονοῦμεν. Τὰς κτήσεις ἀπεβαλόμεθα, καὶ τοῦ φιλονεικεῖν οὐκ ἐπαυσάμεθα. Τοὺς οἴκους κατελίπομεν, καὶ τῇ μερίμνῃ καθ' ἑκάστην τηκόμεθα. Πλοῦτον οὐκ ἔχομεν, καὶ τῆς ὑπερηφανίας οὐκ ἀπέστημεν. Γάμον ὑπερείδομεν, καὶ τῆς ματαίας ἐπιθυμίας οὐ μεθιστάμεθα. Ἔξωθεν ταπεινοφρονοῦμεν, καὶ τῇ ψυχῇ τιμὰς ἀπαιτοῦμεν. Τῷ δοκεῖν ἀκτήμονες, καὶ τῇ πλεονεξίᾳ κρατούμεθα. Τῷ λόγῳ ἀκτήμονες, καὶ τῇ διανοίᾳ πολυκτημοσύνην νοσοῦμεν. Τίς οὐκ ἂν πενθήσῃ τὴν ἡμετέραν κατήχησιν; Ἔστι γὰρ ἰδεῖν καὶ θαυμάσαι τὰ ἐπιτηδεύματα τῶν μοναχῶν, μάλιστα τῶν νεωτέρων καὶ ἀρχαρίων· οὔπω γὰρ κατὰ λόγον ἀπετάξαντο, καὶ ἤδη τετύφωνται· οὔπω ἐνέτυχον τῷ σχήματι, 284 καὶ ἤδη ἀλαζονεύονται· οὔπω ἤκουσαν τοῦ μαθήματος, καὶ ἤδη ἄλλους νουθετοῦσιν· οὔπω τὰ πρόθυρα εἶδον, καὶ ἤδη τὰ ἔνδον φαντάζονται· οὔπω ἐπέβησαν τῷ βαθμῷ, καὶ ταῖς νεφέλαις ἴσα πέτονται· οὔπω ἐγεύσαντο τῆς ἀσκήσεως, καὶ ἤδη τῇ κενοδοξίᾳ καθωπλίσθησαν· οὔπω φωνὴν ἤκουσαν παιδείας, καὶ ἤδη ἐπιπλήττουσιν· οὔπω συνηθροίσθησαν εἰς ἀδελφότητα, καὶ ἤδη αὐθεντοῦσιν· οὔπω εἰσήλθοσαν τὰς θύρας τοῦ μοναστηρίου, καὶ ἤδη ἐπιλαμβάνονται καὶ καταγινώσκουσι καὶ ἀηδίζονται. Καὶ τί δὴ τὸν καιρὸν ἀναλίσκω; Πολλὰ γάρ εἰσι τὰ ἐπιτηδεύματα αὐτῶν. Οὐκ ἔστιν οὖν ὁ συνιών, οὐκ ἔστιν ὁ διὰ τὸν Θεὸν ἀποτασσόμενος, ἵνα διὰ τῆς ὑπακοῆς δοῦλον ἑαυτὸν παράσχῃ τοῖς ἀδελφοῖς· ἀλλ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐὰν ἐπιτιμηθῇ, δικαιότερα νομίζει ἀντιρρητορεύειν· ἐὰν ἐπιταγῇ, διατυποῖ. Εἰς τὸ ἀγαθὸν οὐ ζηλοῦσι καὶ εἰς τὰ ἀνωφελῆ ἑαυτοὺς ῥυθμίζουσι. Τρεῖς ἡμέρας οὐκ ἔχει ἀποταξάμενος, καὶ τῷ γεγηρακότι ἐν τῷ σχήματι φιλονεικεῖ. Μὴ θέλοντες ὑποτάσσεσθαι τέχνας ἑαυτοῖς μανθάνειν ἐπινοοῦσι· τὴν πύρωσιν τοῦ σώματος μὴ φέροντες ἀλλήλοις ὑποβλέπονται· ὑπὸ ζυγὸν εἰσῆλθε, καὶ διατάσσεται, ἐπιτιμᾷ, ὀργίζεται. Ποίησον 285 τοῦτο, ἀδελφέ· καὶ οὐ ποιῶ, φησίν, ἐὰν μὴ καὶ ὁ δεῖνα μετ' ἐμοῦ ἔλθῃ. Ὁ δεῖνα τῇ μελέτῃ τῶν θείων Γραφῶν σχολάζει· ὤφειλον κἀγὼ σχολάσαι. Καὶ πολλάκις, καὶ πρὸ τοῦ ἀποτάξασθαι ἐργατικῶς ἔζη, καὶ μὴ γινώσκων πρότερον ποία αὐτοῦ ὑπάρχει ἡ δεξιὰ ἢ ἡ ἀριστερά, ἐν τῷ μοναστηρίῳ ἐλθὼν φιλομαθὴς καὶ ἑρμηνευτὴς ἀνεφάνη. Ὁ δεῖνα ὁ ἀδελφὸς ἀναπαύεται, ὀφείλω κἀγώ. Ὁ ἀδελφὸς ἐστόλισται, ὀφείλω κἀγὼ στολισθῆναι. Ὁ ἀδελφὸς εἰς συντυχίαν πατέρων ἀπῆλθεν, ὀφείλω κἀγὼ συντυχεῖν. Ὁ ἀδελφὸς τιμὴν ἔλαβεν, ὀφείλω κἀγώ. Ὁ δεῖνα τήνδε τὴν ἐξουσίαν ἐνεχειρίσθη, ἆρα κἀγὼ οὐκ ἤμην ἄξιος τόδε ἢ τόδε πιστευθῆναι; Ταῦτα τῶν νεωτέρων τὰ ἀριστεύματα, αὗται τῶν ἀρχαρίων αἱ ταπεινοφροσύναι, οὗτοι οἱ πόνοι· διὰ τούτων σπουδάζουσι κληρονομῆσαι τὴν βασιλείαν, οὐκ εἰδότες ὅτι ταῦτα κατάγουσι τὴν ψυχὴν εἰς ἀπώλειαν, οὐκ εἰδότες ὅτι διὰ τούτων ἐχθροὶ τοῦ Θεοῦ καθεστήκασι. Διὰ τούτων φανεροί ἐσμεν λοιπὸν ὅτι οὔτε κἂν πρὸς βραχὺ ἀπεταξάμεθα τῇ ἔξωθεν πολιτείᾳ, λέγω δὴ τῷ κόσμῳ. Τῷ δοκεῖν γὰρ ἀπεταξάμεθα, τῇ δὲ ἀληθείᾳ τὰ τοῦ κόσμου φρονοῦμεν καὶ οὐκ ἔστιν ἐν ἡμῖν οὐδεμία ἀπολογία. Τῷ σχή 286 ματι μονάζοντες καὶ τῷ τρόπῳ ὠμοί τινες καὶ ἀπάνθρωποι· τῷ σχήματι ταπεινοὶ 286 καὶ τῷ τρόπῳ λοιμοί· τῷ σχήματι εὐλαβεῖς καὶ τῷ τρόπῳ φονεῖς· τῷ σχήματι ἀγαπητοὶ καὶ τῷ τρόπῳ ἐχθροί· τῷ σχήματι φιλικοὶ καὶ τῷ τρόπῳ μισηταί· τῷ σχήματι ἀσκηταὶ καὶ τῷ τρόπῳ σπόνδυλοι ἀθλητῶν· τῷ σχήματι νηστευταὶ καὶ τῷ τρόπῳ πειραταί· τῷ σχήματι σώφρονες καὶ τῇ καρδίᾳ μοιχοί· τῷ σχήματι ἡσυχασταὶ καὶ τῷ τρόπῳ ῥεμβασταί· τῷ σχήματι πραεῖς καὶ τῷ τρόπῳ ἀλαζόνες· τῷ σχήματι παρακλήτορες καὶ τῷ τρόπῳ ὑβρισταί· τῷ σχήματι σύμβουλοι καὶ τῷ τρόπῳ διασυρταί· τῷ σχήματι ἀφελεῖς καὶ τῷ τρόπῳ δεινοί· τῷ σχήματι ἄφθονοι καὶ τῷ τρόπῳ φθονεροί· τῷ σχήματι ἀντιλήπτορες καὶ τῷ τρόπῳ προδόται. Καὶ πόθεν ἄρα συμβαίνει τοιούτους εἶναι ἡμᾶς; Ἐκ τοῦ μὴ ἔχειν ἡμᾶς ἀληθινὴν ταπείνωσιν· ἐκ τοῦ μὴ ἔχειν ἡμᾶς πρὸ ὀφθαλμῶν τὸν φόβον τοῦ Θεοῦ· ἐκ τοῦ καταφρονεῖν ἡμᾶς καὶ παραλογίζεσθαι καὶ λῆρον δοκεῖν εἶναι τὸ σωτήριον παράγγελμα. Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ ἡμεῖς οὐδὲ κἂν ὡς ἀδελ 287 φὸν αὐτὸν δεχόμεθα. Τὸ στόμα ἐκεῖνο τὸ φοβερὸν καὶ ἀκατάληπτον καὶ φρικῶδες ἐλάλησεν, ὅτι ὁ θέλων ἐν ὑμῖν εἶναι μέγας, ἔστω πάντων ἔσχατος καὶ πάντων διάκονος. Καὶ ἡμεῖς μὴ ἑωρακότες κἂν τὰ πρόθυρα τοῦ σχήματος, ἀλαζονευόμεθα, καὶ εἷς κατὰ τοῦ ἑτέρου ἐπαιρόμεθα καὶ ἀλλήλους προπηδῶμεν. Καὶ πάντες ἐσμὲν παρ' ἑαυτοῖς φρόνιμοι, πάντες ἐξουσιασταί, πάντες διατάκτορες, πάντες ἐπιπλῆκται, πάντες νομοθέται, πάντες φιλόλογοι, πάντες διερμηνευταί, πάντες διδάσκαλοι, πάντες κελεύοντες, πάντες φροντισταί, πάντες οἰκονόμοι, πάντες πρῶτοι, πάντες δεύτεροι. Ἄρα κἂν ὁ Ἀπόστολος οὐ πείθει ὑμᾶς ὅτι εἰ ὅλον τὸ σῶμα ἀκοή, ποῦ ἡ ὄσφρησις; Εἰ οὖν ὅλοι πρῶτοι, ὅλοι ἡγούμενοι, ὅλοι διατάκτορες, ποῦ λοιπὸν ἡ διαφορὰ τῆς τοῦ Θεοῦ διαταγῆς; Ὅμως κἂν οὐ πείθεσθε τῷ λέγοντι, οὐδεὶς ἑαυτῷ λαμβάνει τιμήν, εἰ μὴ ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ· ἢ πάλιν ὅπως λέγει, μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, διὰ τοῦτο ἀρχὰς καὶ ἐξουσίας ἔταξεν ὁ Θεός. Εἰ γὰρ καὶ ἐν τοῖς οὐρανοῖς πάντες ἄφθαρτοι καὶ ἀθάνατοι, λειτουργικὰ πνεύματα ὄντα, οὐκ εὐδόκησεν ὁ Θεὸς πάντα ἐν ἑνὶ τάγματι εἶναι, ἀλλὰ καὶ ἐν τοῖς θείοις 288 καὶ ἀθανάτοις λειτουργοῖς ἀρχαὶ καὶ ἐξουσίαι καὶ ὑπεροχαὶ εἶναι ἐπετάγησαν, καὶ ἕκαστος αὐτῶν οὐχ ὑπερβαίνει τὴν ἑαυτοῦ τάξιν. Πάντων τάξει καὶ τρόπῳ γεγονότων, διατί ἡμεῖς ἀδίκους φιλονεικίας ἐν ἀλλήλοις φιλονεικοῦμεν; Ἄγγελοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ Ἀρχάγγελοι τὰ προσταχθέντα οὐχ ὑπερβαίνουσι, καὶ ἡμεῖς ἀλλήλους ὑπερβαίνομεν καὶ ὠθοῦμεν, καὶ εἷς τὸν ἕνα ὑπερακοντίζομεν, καὶ προπηδᾶν ἀλλήλους καὶ ἐξουθενεῖν καὶ σμικρύνειν ἐπειγόμεθα, ὡς πλεῖόν τι δυνάμενοι κατορθῶσαι. Ὢ πώρωσις διανοίας μὴ πείθεσθαι τῷ λέγοντι ἀνεχομένη, ἕκαστος ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω. Πῶς κἂν οὐ δεδοίκασι τὸν λέγοντα, ὅτι παρ' οἷς πολὺ δοθήσεται, πολὺ ζητηθήσεται, ἵνα κἂν οὕτω τὴν ταπεινοφροσύνην κτῶνται. Μὴ οὕτω τὸν βίον ἡμῶν ἐν χυδαιότητι διατελῶμεν. Μὴ οὕτως ἀδεῶς ὡς μὴ ἔχοντες τῆς δίκης τῆς φοβερᾶς ἐπακοῦσαι. Μὴ οὕτω διάγωμεν, ὥσπερ μὴ ἔχοντες λόγον μετὰ ἐπείξεως ἀποδοῦναι. Μὴ οὕτω, δέομαι ὑμῶν. Μὴ γινώμεθα πρόσκομμα καὶ σκάνδαλον τοῖς ἔξωθεν. Μὴ ἁμαρτίας ἐφ' ἁμαρτίαις συντιθῶμεν. Μὴ βλασφημείσθω τὸ καλὸν σχῆμα δι' ἡμῶν, ἀλλὰ μᾶλλον εὐφημείσθω. Ἥξει γάρ, ἥξει καὶ 289 οὐ χρονιεῖ ἡ φοβερὰ ὥρα ἐκείνη, ἐν ᾗ ἀναπολόγητα ἡμῖν ἔσται ἐξεταζομένοις. Τί γὰρ αὐτῷ καὶ ἐρεῖν δυνάμεθα; Τί γὰρ ἦν αὐτὸν ποιῆσαι ἡμῖν καὶ οὐκ ἐποίησεν; Ὅτι αὐτὸν τὸν Θεὸν Λόγον ἐν δούλου μορφῇ ταπεινὸν οὐκ εἴδομεν, ἵνα καὶ ἡμεῖς ταπεινοὶ γενώμεθα; Ἢ ὅτι ἐμπτυσμένον τὸ ἀπερινόητον αὐτοῦ πρόσωπον οὐκ εἴδομεν, ἵνα καὶ ἡμεῖς ὑβριζόμενοι ἢ ἐπιπληττόμενοι μὴ ἀγριαίνωμεν; Ἀλλ' ὅτι οὐκ εἴδομεν τὸν ἅγιον αὐτοῦ νῶτον διδόμενον εἰς μάστιγας, ἵνα καὶ ἡμεῖς ὑπείκωμεν κατὰ πάντα τοῖς ἡγουμένοις ἡμῶν; Ἢ οὐκ εἴδομεν τὸ πρόσωπον αὐτοῦ τὸ ἐπιβλέπον ἐπὶ τὴν γῆν καὶ ποιοῦν αὐτὴν τρέμειν, πῶς ἐρραπίζετο, ἵνα καὶ ἡμεῖς ἐξουθενούμενοι μὴ θηριώμεθα; Ἀλλ' ὅτι οὐκ ἠκούσαμεν αὐτοῦ λέγοντος, ὅτι ἐγὼ ἀπ' ἐμαυτοῦ οὐδὲν ποιῶ, ἵνα καὶ ἡμεῖς μὴ γενώμεθα αὐθάδεις καὶ αὐτοθελεῖς καὶ αὐτεξούσιοι; Ἀλλ' ὅτι οὐκ ἠκούσαμεν αὐτοῦ λέγοντος, ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω, ἵνα καὶ ἡμεῖς μὴ ὦμεν ἀντιλόγοι καὶ ἀπειθεῖς; Ἀλλ' ὅτι οὐκ ἠκούσαμεν αὐτοῦ λέγοντος, μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τὴν καρδίαν, 290 ἵνα καὶ ἡμεῖς πραεῖς γενώμεθα καὶ ταπεινοί, καὶ μὴ ἀλλήλους φθονοῦντες, ἀλλήλους δάκνοντες καὶ κατεσθίοντες; Ἀλλὰ ποίαν ἀπολογίαν δοῦναι αὐτῷ ἔχομεν; Μή, ἀδελφοί μου, μὴ οὕτω, παρακαλῶ· μὴ διὰ τὰ πάθη τὰ σαρκικὰ ἐκβληθῶμεν τῆς ἀθανάτου μακαριότητος· μὴ διὰ πρόσκαιρον τιμὴν ἀπολέσωμεν τὴν αἰώνιον δόξαν· μὴ δι' ἔριν ἢ ζῆλον ἢ φθόνον καταδικασθῶμεν εἰς τὴν φοβερὰν γέενναν. Ἐὰν ἅπαξ σωθῆναι ζητῇς, τί περιεργάζῃ τὸν πλησίον; Ἅπαξ ὑπὸ ζυγὸν εἰσῆλθες, τί παραδιατάσσῃ; Ἵνα πῶς ὁ καρπὸς τῆς ὑπακοῆς σου φανῇ; Θάρσει, θάρσει, ἀγαπητέ, ὅτι οὔτε ἀξία, οὔτε τιμή, οὔτε μεγαλειότης, οὔτε τὸ λέγεσθαι πρῶτον ἢ δεύτερον, οὔτε τὸ ὀνομάζεσθαι ἡγούμενον, οὔτε τὸ ἀκούειν ἔνδοξον, οὔτε τὸ ἐγχειρισθῆναι τιμήν, οὔτε τὸ πιστευθῆναι ἀξίαν εἰς βασιλείαν οὐρανῶν εἰσάγει, ἢ ἄφεσιν ἁμαρτιῶν δωρεῖται. Οὐ ῥύεται ἐκ τῆς κολάσεως, ἀλλὰ καταδικάζει· ἡ ταπείνωσις δὲ καὶ ἡ ὑπακοή, ἀγάπη τε καὶ ὑπομονὴ καὶ μακροθυμία, ταῦτά εἰσι τὰ σῴζοντα ἄνθρωπον. Ἀδύνατον γὰρ ἄλλως εὐδοκιμῆσαι καὶ σωθῆναι, εἰ μὴ ἐν τῷ μιμήσασθαι τὸν Κύριον ἐν παντί. Οὐκ ἠκούσατε λέγοντος αὐτοῦ· οὐκ ἦλθον 291 διακονηθῆναι, ἀλλὰ διακονῆσαι· καὶ πάλιν· ἦλθον οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός· καὶ πάλιν· ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται, καὶ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται; Οὐκ ἠκούσατε αὐτοῦ λέγοντος· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν; Οὐκ ἠκούσατε, ὅτι καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ πῶς ἐπαγγέλλεται ἐλέγχειν κατὰ πρόσωπον; Οὐκ ἠκούσατε, ὅτι ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ σκότει ἐστίν; Οὐκ ἠκούσατε, ὅτι ὁ Διάβολος διὰ τὴν ὑπερηφανίαν ἐκ τῶν οὐρανῶν ἐξέπεσεν; Οὐκ ἠκούσατε, πῶς διὰ τὴν ἀντιλογίαν τὴν πρὸς τὸν Θεόν, ποίας καὶ πηλίκης δόξης ἐξέπεσεν; Οὐκ ἠκούσατε, πῶς δι' ἕνα λόγον λοιδορίας ἐλεπρώθη Μαριὰμ ἡ ἀδελφὴ Μωσῆ; Διατί οὖν τοσούτων ὑποδειγμάτων ὄντων, ἡμεῖς ὡσεὶ ἀσπίδες τὰ ὦτα φράσσομεν, οὐ λέγω τὰ σωματικά, ἀλλὰ τὰ τῆς καρδίας ἡμῶν; Ταῦτα γὰρ ἀκούουσιν, ἀλλ' ἐκεῖνα οὐ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μνημονεύουσι. Διατί οὐ πιστεύομεν τῷ λέγοντι, ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ Θεῷ μένει; 292 Παρακαλῶ οὖν ὑμᾶς, τὸ ποίμνιον τὸ ἐκλεκτὸν τοῦ Χριστοῦ, νήψωμεν, ὡς καιρὸν ἔχομεν· σωφρονήσωμεν, ὥς ἐσμεν ἐν ἀνέσει, μήποτε αἰφνιδίως ἔλθῃ ἡ ὥρα ἐκείνη ἡ φρικτὴ καὶ ὀδυνηρά, καὶ πενθήσωμεν πικρῶς μετανοοῦντες ἀνόνητα. Νήψωμεν, ἵνα μὴ αἰσχυνθῶμεν τὴν αἰσχύνην ἐκείνην τὴν μεγάλην, ἐνώπιον Θεοῦ καὶ Ἀγγέλων καὶ ἀνθρώπων. Παυσώμεθα τῶν φιλονεικιῶν, καὶ μάλιστα ἡμεῖς οἱ ἀκμαζούσας ἔχοντες τὰς ἡλικίας. Ταπεινώθητε, ὅση δύναμις, ἵνα δυνηθῆτε καταλαβεῖν τὴν τελειότητα. Ἐπὶ τῶν πατέρων ἡμῶν ἄνεσιν εἶχον μᾶλλον οἱ καιροί. Καὶ μάθετε πόση ἦν παρ' αὐτοῖς ἡ ἀκρίβεια, πόση ταπείνωσις καὶ εὐτέλεια, κακουχία τε καὶ ἐξουθένωσις· νυνὶ δὲ μέγας ὑπάρχει ὁ πόλεμος. Μὴ καταφρονεῖτε, μηδὲ νομίζετε πεφθακέναι εἰς τὴν τελειότητα. Πολλοῦ καμάτου χρεία εἰς τὸ σωθῆναι, καὶ πολλοῦ αἰῶνος. Μὴ νομίσητε ὅτι τὸ ζώσασθαι βαθέα καὶ σύρειν τὰ ἱμάτια ἐκεῖνό ἐστι τὸ μονάζειν, ἢ τὸ ἔχειν λαμπρὰς χεῖρας ἐκεῖνο σῴζει, ἢ τὸ εὐδιάλεκτον εἶναι, ἢ ἑρμηνέα Γραφῶν, ἐκεῖνό ἐστι τελειότης, ἢ τὸ ξυρᾶσθαι τὰς κεφαλάς, ἢ τὸ πάλιν τρίχας φιλοκαλεῖν, καὶ μὴ ἔχειν τὰς ἀναλόγους καὶ ἁρμοζούσας ἀρε 293 τάς. Οὐ τὸ σχῆμα σμικρύνων λέγω, μὴ γένοιτο· ἀλλ' ὅτι τῷ σχήματι ὀφείλει ἐπακολουθεῖν ὁ τρόπος καὶ τὰ ἔργα. Σχῆμα γὰρ χωρὶς ἔργων οὐδέν ἐστι. Μὴ οὖν ἀμεριμνᾶτε, μηδὲ χαυνοῦσθε· πολλοῦ γὰρ κόπου χρεία τὴν νεότητα καὶ τὰς ὁρμὰς τοῦ σώματος χαλιναγωγῆσαι· εἰ γὰρ καὶ ἄχθεσθε ἐπὶ τοῖς λεγομένοις, ἀλλ' ἐμὲ τοῦτο οὐ λυπεῖ· θέλω γὰρ ὑμᾶς καυτῆρας δέξασθαι, ἵνα τῆς σηπεδόνος ἀπαλλαγῆτε. Μηδὲ γάρ, ἐπειδὴ κρύπτετε ὑμῶν τὰ πάθη, οἴεσθε τὸν Θεὸν λανθάνειν· λέγω γὰρ ὑμῖν, ὅτι τὰ κρυφῇ παρ' ὑμῶν γενόμενα, αἰσχρόν μοι τὸ διαγράφειν. Εἰ γὰρ διαγράψω, οὐ στήσεσθε, ἀλλ' ἀποφεύξεσθε! Διὸ δὴ παρακαλῶ ὑμᾶς, ταπεινώσατε ἑαυτοὺς τῇ ὑπακοῇ, τῇ ἀγάπῃ, τῇ εὐτελείᾳ, τῇ ἐξουδενώσει. Διὰ τούτων ὑποτάσσεσθε ἀλλήλοις καὶ ὑπείκετε ἑαυτοῖς τῇ νηστείᾳ ὁπλιζόμενοι, τῇ εὐχῇ, τῇ ἀγρυπνίᾳ. Μὴ εἰς τὸ φιλονεικεῖν δυνατοὶ καὶ εἰς τὴν ψαλμῳδίαν ἐκλελυμένοι· μὴ εἰς τοὺς λογισμοὺς ἄγρυπνοι καὶ ὡς θῆρες ἐμβλέποντες, καὶ ἐν τῇ εὐχῇ νυστάζοντες καὶ τοὺς ὀφθαλμοὺς καμμύοντες· μὴ εἰς τὴν ἀργολογίαν ἰσχυροὶ ὡς ταῦροι, καὶ εἰς τὴν τοῦ Θεοῦ δοξολογίαν ἀσθενεῖς ὥσπερ αἱ ἀλώπεκες· μὴ εἰς τὸ λογομαχεῖν ἀήττητοι, καὶ εἰς τὰ πνευματικὰ χα 294 σμώμενοι· μὴ ἐν τῷ παίζειν ἱλαροί, καὶ ἐν τῷ νουθετεῖσθαι ὑμᾶς σκυθρωποί· μὴ τὴν ἡμέραν εἰς τὴν γαστριμαργίαν ὑγιεῖς, καὶ ἐν τῇ νυκτερινῇ εὐχῇ ἀσθενάριοι καὶ νωθεῖς· μὴ ἐν ταῖς συντυχίαις ἰταμοί, καὶ ἐν τοῖς ἔργοις ἐκλελυμένοι· μὴ ἐν τῷ ἐπιτάσσειν τίμιοι, καὶ ἐν τῷ ἐπιτάσσεσθαι ἄτιμοι· μὴ εἰς τὸ ὑπακούεσθαι ἡδεῖς, καὶ εἰς τὸ ὑπακούειν ἀηδιζόμενοι· μὴ εἰς τὸ ἐπιτάσσειν αὐστηροί, καὶ εἰς τὸ ἐπιτάσσεσθαι στυγνοί τε καὶ γόγγυσοι. Μὴ τὰ χειρίδια ἕως τῶν δακτύλων, καὶ αἱ γλῶσσαι ἕως αὐτοῦ τοῦ στήθους· μὴ εἰς τὴν τράπεζαν γοργοὶ καὶ πρόθυμοι, καὶ εἰς τὰ ἔργα ἀμελεῖς καὶ ἐκλελυμένοι· μὴ εἰς πολυφαγίαν δυνατοί, καὶ εἰς νηστείαν ἀδύνατοι· μὴ εἰς οἰνοποσίαν χαίροντες, καὶ εἰς ὑδροποσίαν στυγνοί τε καὶ κατηφεῖς· μὴ εἰς τὸ περιβλέπεσθαι διεγηγερμένοι, καὶ εἰς τὸ διακρῖναί τι ἀγαθὸν ἐσκοτισμένοι· μὴ ἐνώπιον θηλειῶν σεμνοί, καὶ μετὰ τῶν ἀδελφῶν ἠγριωμένοι. Ἀλλὰ παρακαλῶ ὑμᾶς, τέκνα Θεοῦ ἠγαπημένα, τὸν ζῆλον τῶν καλῶν ἀναλάβετε, εἴ τι σεμνόν, εἴ τι οἰκοδομῆς οἰκεῖον, εἴ τι εὔφημον· πρὸ πάντων τὴν ταπείνωσιν, τὴν ἀγάπην, τὴν χρηστότητα, τὴν πρᾳότητα, τὴν ἐπιείκειαν, παραχω 295 ροῦντες ἀλλήλοις καὶ μὴ φιλονεικοῦντες εἰς οὐδὲν χρήσιμον. Τῇ νηστείᾳ καὶ τῇ προσευχῇ ἄοκνοι, ἵνα δυνηθῆτε τὰ τῆς σαρκὸς πάθη νικῆσαι· ἵνα μὴ διὰ τὰ μηδαμινὰ πάθη τοσούτων ἀγαθῶν στερηθῶμεν. Μὴ τὰ πρόσκαιρα ζητοῦντες, τὴν ἀθάνατον δόξαν ἀπολέσωμεν. Σπουδάσωμεν, παρακαλῶ, ὡς ἔτι ἐσμὲν ἐν σαρκί, τὰ ἀρεστὰ Κυρίῳ ἐργασώμεθα. Σπουδάσωμεν, ἐπειχθῶμεν, μέγας χειμὼν ἐπίκειται, μὴ ἀμεριμνήσωμεν. Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς τοὺς ὁρωμένους ἀνθρώπους, ἵνα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διαβλεπόμενοι ἀσφαλισώμεθα. Ἀόρατοί εἰσιν οἱ πολεμοῦντες ἡμᾶς· διὰ τοῦτο καὶ μέγας ὁ κίνδυνος τοῖς ἀμελεστέροις, νικῶσι δὲ μεγάλη μισθαποδοσία. Δι' ἐπινοιῶν οὖν νικήσωμεν καὶ ἀντιπαραταξώμεθα αὐτῷ· οἷόν τι λέγω· ἐὰν εἰς γαστριμαργίαν ἐρεθίσῃ, διὰ νηστείας πολεμήσωμεν· ἐὰν εἰς ἐπιθυμίαν γυναικὸς ἡμᾶς γαργαλίζῃ, τῇ ὑπομονῇ χρησάμενοι κρατήσωμεν τῆς αἰσθήσεως καὶ παραχρῆμα φεύξεται· ἐὰν εἰς ὀργὴν ἡμᾶς διεγείρῃ, τὴν εἰρήνην ὁπλισώμεθα· ἐὰν θυμοῦσθαι ἡμᾶς παρασκευάσῃ, τὴν πρᾳότητα ἀναλάβωμεν· ἐὰν εἰς μῖσος ἐξάπτῃ, τῇ ἀγάπῃ κολληθῶμεν· ἐὰν εἰς τιμὴν ἐρεθίζῃ, τὴν ἐξουδένωσιν ἐπιδειξώμεθα· ἐὰν εἰς δόξαν, τὴν εὐτέλειαν ἀναλάβωμεν· ἐὰν εἰς ὕψος φαντάζῃ, τοῦ Κυρίου τὴν τα 296 πείνωσιν διαγράψωμεν· ἐὰν εἰς ζῆλον πρὸς τὸν ἀδελφὸν ἐρεθίζῃ, ἐννοήσωμεν τὴν ἔκπτωσιν τοῦ Κάϊν· ἐὰν εἰς φθόνον, τὴν ἀπώλειαν τοῦ Ἠσαῦ· ἐὰν εἰς καταλαλιὰν κινῇ, τῇ σιωπῇ ἑαυτοὺς περιφράξωμεν. Ἐὰν γὰρ οὕτως αὐτῷ ἀντισταθῶμεν, φεύξεται καὶ οὐ στήσεται. Ἐπανελεύσεται δὲ ἡ χάρις. Πιστεύσατε, ἀδελφοί μου, ἀπὸ πάντων ὧν παρήνεσα ὑμῖν φυλάττεσθαι, ἔνοχος αὐτῶν εἰμι ἐγώ· ἀλλὰ κἂν ὑμεῖς καθαροὶ γένησθε, ἐγὼ γὰρ βεβορβόρωμαι ταῖς ἁμαρτίαις, ἀλλὰ σπουδάσατε διὰ τῆς καλῆς ὑμῶν μετανοίας κἀμὲ ἐξαγοράσαι. Πιστεύσατε, ἀφ' ὧν ἐλάλουν, οὐδὲν ἐφύλαξα· ἀλλ' ὑμεῖς τῷ ἔργῳ κοσμήσατε τοὺς ἐμοὺς λόγους. Πιστεύω γὰρ ὑμᾶς ἀμώμους εὑρεθῆναι· ἐγὼ δὲ κατακέκριμαι ὑπὲρ ὧν λέγω καὶ οὐ ποιῶ. Μὴ οὖν ἀμελήσωμεν τῆς ἑαυτῶν σωτηρίας, μηδὲ ὡς ἐν παροιμίαις νομίσωμεν τὰ λεχθέντα· οὐδὲ γὰρ ἔξωθέν τι τῶν γεγραμμένων παρεισηγάγομεν, ἀλλ' οὐδὲ ψευδῆ τὰ ῥηθέντα. Γένοιτο δὲ πάντας ὑμᾶς δεξαμένους τὸν σπόρον τοῦ λόγου, ὥσπερ γῆν ἀγαθήν, καρποφορῆσαι· τὸν μὲν τριάκοντα, τὸν δὲ ἑξήκοντα, τὸν δὲ ἑκατόν· ἵνα τοῖς καρποῖς κομοῦντες καὶ 297 ταῖς ἀρεταῖς λαμπροφοροῦντες, εὐφρανῆτε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Καὶ αὐτὸς εὐφρανεῖ ὑμᾶς ἐν τῇ ἀναπαύσει τῆς βασιλείας αὐτοῦ εἰς τοὺς αἰῶνας τῶν ἰώνων. Ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.